μέγιστα πράγματα ἔχω, τί γὰρ μεῖζον ὑγιείας, καὶ ὁ παιδοτρίβης δὲ φησίν, ὅτι ἐγὼ περὶ μέγιστα ἔχω, τί γὰρ κρεῖττον κάλλους, καὶ ὁ χρηματιστὴς δὲ ὡσαύτως τὰ χρήματα ἐπαινεῖ· καὶ ὁ μὲν ἰατρὸς καὶ ὁ γυμναστὴς πρὸς τὸν Γοργίαν μάχονται, οὐ γὰρ πρὸς ἑαυτούς· ἡ ὑγίεια γὰρ μετὰ κάλλους τινὸς καὶ ἁρμονίας, εἰ καὶ μὴ σωματικοῦ κάλλους. ὁ δὲ χρηματιστὴς καὶ πρὸς Γοργίαν μάχεται καὶ πρὸς πάντας. οὕτως μὲν οὖν ἀμφίβολος, ἀσαφὴς δέ, ὅτι οὐ διήρθρωσε τὰ πράγματα ἀλλ' εἰς ἔπαινον ἐχώρησεν.

3 ἰστέον δέ, ὅτι οὐκ αὐτὸς σκώπτει αὐτόν, ἀλλ' ὡς ἀπὸ καπήλων τινῶν καὶ ἀνδρῶν ἐν συμποσίῳ εὑρισκομένων γράφει τὸν λόγον. εἶτα ἐπειδὴ μέμνηται σκολιοῦ, δεῖ μνησθῆναι ἱστορίας καὶ οὕτως ἀποδοῦναι τὴν ἐξήγησιν. δεῖ εἰδέναι, ὅτι πάλαι ἡ μουσικὴ περισπούδαστος ἦν· τὰ γὰρ πάθη ἐκήλει· μουσικὴ δὲ ἡ θεία καὶ οὐχ ἡ ἔκπτωσις· ὅτι γὰρ θεία ἦν δηλοῦσι τὰ ἴχνη τὰ ἔτι σωζόμενα. οὕτω γοῦν σάλπιγγος ἀκούοντες πρὸς πόλεμον ἐγειρόμεθα καὶ αὐλῶν ἢ κιθάρας πρὸς ἡδονήν. πάλαι οὖν ἦσαν μέλη ἰατικὰ τῶν παθῶν, οὕτω γοῦν κάμνοντες ᾄδοντες ἀνακωχὴν τοῦ κόπου ἐλάμβανον, καὶ ἐν τοῖς ἱεροῖς δὲ πρέποντα μέλη ἐλέγοντο, καὶ ἔρωτες δὲ ἐπαύοντο ἐκ τοιῶνδε μελῶν. οὕτω γοῦν ὁ Πυθαγόρας ἀπαντήσας νέῳ ὄντι μετὰ κιθαριζούσης κόρης καὶ γνοῦς, ὡς φυσιογνωμονικός, ὅτι φύσεώς ἐστι δεξιᾶς ὁ νέος καὶ δύναται ὠφεληθῆναι, ἠλέησεν αὐτόν, καὶ ἐπέτρεψεν τῇ κόρῃ μεταστρέψαι τὸν αὐλὸν ἤτοι τὴν κιθάραν καὶ τοιῶσδε χρήσασθαι καὶ μέλος κατεσκεύασεν εὐθέως ἀποπαῦσαν τὸν νέον τοῦ ἔρωτος.

4 διὰ τοῦτο τοίνυν καὶ ὁ Πλάτων μουσικὴν ἐκέλευεν ζηλοῦν τοὺς ἐν τῇ Πολιτείᾳ, ἀλλὰ μουσικὴν οὐ τὴν δημώδη ἀλλὰ τὴν κοσμοῦσαν τὴν ψυχήν· ἔλεγεν οὖν φροντίζειν νοημάτων ἐπαγγελίας, ἁρμονίας, ῥυθμοῦ, σχήματος καὶ τῶν τοιούτων· νοημάτων μὲν ὡς μὴ τὰ ποιητικὰ ᾄδειν, ὅτι Ἀχιλλεὺς θρηνῶν καὶ λυπούμενος ἦν παρὰ τὰς ναῦς, ἀλλὰ τὰ κατακρατοῦντα τῶν παθῶν οἷον·

τέτλαθι δὴ κραδίη καὶ κύντερον ἄλλο ποτ' ἔτλης·

27 Plat. reip. III 394 c   31 *Α* 364   33 *υ* 18

14 mg. σημ. περὶ μουσικῆς   21 mg. σημ. τὰ περὶ Πυθαγόρου καὶ οἷον ἐργάσατο διὰ τῆς μουσικῆς ἐπιστήμης